# ΕΓΚΥΚΛΙΟΣ

## ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΙΕΡΕΜΙΟΥ

Ἡ κατωτέρω δημοσιευομένη ἐγκύκλιος τοῦ πατριάρχου Ἱερεμίου ἔχει ἀντιγραφῇ ἐκ τοῦ κώδικος Oxon. Baroc. 216 φυλ. 62. Ἐν τέλει τοῦ ἀντιγράφου γέγραπται ἡ ἀκόλουθος παρατήρησις. «Coxe notirt das Jahr 1545, wohl fälschlich da die Urkunde höchst wahrscheinlich auf den ersten Jeremias kommt, stimmt die XVI indictio blos mit den Jahren 1526 odea 1541». Μνημονεύεται δὲ ἡ ἐγκύκλιος αὕτη ὑπὸ τοῦ Λάμπρου καὶ ἐν τῷ «Plan eines corpus der griechischen Urkunden» τοῦ Paul Marc διὰ τῶν ἀκολούθων. «Schreiben des Patr. Hieremias I über die Kindertaufe mit nur einem Pathen. Inc. Εὐλαβέστατοι ἱερεῖς . . . . . . . τὸ ψήφισμα τὸ ψηφισθὲν

Abgeschrieben von Lampros aus cod. Baroc. 216».

Κ. Ι. Δ.

+ Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

+ Εὐλαβέστατοι ἱερεῖς καὶ πνευματικοὶ πατέρες, υἱοὶ κατὰ πνεῦμα τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ παντοκράτορος.

Τὸ ψήφισμα τὸ ψηφισθὲν παρὰ τῆς ἡμῶν μετριότητος περὶ τῆς τῶν παίδων ἀναδοχῆς καὶ βαπτίσεως, ὅτι οὐκ εὔλογον οὐδὲ νόμιμον οὐδὲ πρέπον τὸ μετὰ πλειόνων ἀναδόχων, ἀλλὰ μετὰ ἑνὸς μόνου κατὰ τοὺς ὅρους τῶν ἁγίων πατέρων βαπτίζειν καὶ ἀναδέχεσθαι τούτους ὑμᾶς. ἠκούσαμεν ὅτι ὑμεῖς τὸ τοιοῦτον οὐκ ἐστέρξατε ὅλως, ἀλλὰ καταπεφρονήκατε τούτου καὶ ἡμῶν, οὐ παύοντες καθ' ἑκάστην τοῦ βαπτίζειν

'Εν. ἀν. σ. 108.

1. καθεκάστην

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὑμᾶς μεθ' ὅσων ἂν ἐντύχοιτε ἀναδόχων· καὶ ἀργίας οὔσης πρὸς τὰ τοιαῦτα, ὑμεῖς οὐκ αἰσχύνεσθε, πράττοντες οὕτω, κἂν πρὸς ὀλίγον παῦσαι τοῦ τὰ θεῖα ἱερουργεῖν μυστήρια. Ταῦτα μεμαθήκαμεν ὑπὸ πολλῶν καὶ πεπείσμεθα μᾶλλον ὅτι ἀληθῆ εἰσι.

Διὸ γράφομεν καὶ προστάσσομεν ὑμᾶς τοῦ μηκέτι ἀπὸ τοῦ νῦν πράττειν τοιαῦτα, ἀλλὰ καθὼς τὸ ἡμέτερον ἐμφαίνει πρόσταγμα ἵνα ποιῆτε ἤτοι τὸ βαπτίζειν μετὰ ἑνὸς μόνου ἀναδόχου, ὁποῖος ἂν εἴη, ἤτοι ἐπὰν καὶ ὁ τῶν πρῶτον εἴη ἀναδόχων. Εἰ δέ τις μετὰ πολλῶν ἐθελήσειεν ἀναδόχων ἢ καὶ ἠθέλησε βαπτίσαι τινὰ ἵνα εἴη μῆνας τοσούτους ἀργὸς ὁ τοιοῦτος ὅσοι οἱ τοῦ παιδίου ἀνάδοχοι τύχωσιν εἶναι. Ὃς δ' ἂν οὐκ ἐθελήσῃ φυλάξαι τὴν ἀργίαν, ἵνα εἴη ἀργὸς πάσης ἱεροπραξίας. Οἱ δὲ τοῦ παιδίου ἀνάδοχοι ἔστωσαν ὑπόδικοι καὶ αὐτοὶ τῷ ἡμετέρῳ ἀφορισμῷ μετὰ πάντων τῶν συναινούντων. Ἀλλὰ ταῦτα μὲν ἡμῖν οὕτως· ὑμῖν δὲ ἔστω τὸ σπουδάσαι ἵνα μήθ' ἑαυτοῖς μήτε ἄλλοις γένησθε πρόξενοι τῶν τοιούτων κακῶν· ἵνα καὶ ἡ χάρις καὶ τὸ ἔλεος τοῦ Θεοῦ εἴη μετὰ πάντων ὑμῶν· ἀμήν.

Μηνὶ μαΐῳ, ἰνδ. ιδ'.

---

12. ἡμῖς 15. εἰσὶ 18. εἴτοι 19. ἐπᾶν 20. τοσότους 24. ἀφωρισμῷ 25. σπουδᾶσαι 25. μητ'

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006